UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

Isidorus <Pelusiota>

Parisiis, 1585

Teoctisto. 11.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

τὸν μὲν ἐξ ἴσου τῷ θυμικῷ, καὶ ἐπιθυμητικῷ τὸν λογισμὸν, ὥσπερ ἡνίοχον ἐποχεῖσθαι· ἔπειτα ὅτι τῷ ἱερωμένῳ χρὴ τὴν ἀλήθειαν καὶ τὴν σαφήνειαν ἐγκαλλώπισμα εἶναι. τῷ γὰρ λογίῳ ἐπέκειτο ἡ δήλωσις καὶ ἡ ἀλήθεια· ἡ μὲν τὴν σαφήνειαν, ἡ δὲ τἀληθὲς ἐμφαίνουσα, εἰ δὲ καὶ ἄλλως βούλει νοῆσαι· ἐπειδὴ τῷ μὲν ἐν διαθέτῳ λόγῳ πρέπει ἡ ἀλήθεια· τῷ δὲ προφορικῷ, ἡ σαφήνεια. τάχα δὲ ἐπειδὴ καὶ ἔκλαμψίς τις ἐγίνετο, ὥς φασιν, ἐν τοῖς λίθοις ἐκείνοις, ὅτε εἰς τὰ ἄδυτα εἰσέλετο ἱερουργήσων, καὶ ἐδήλου ἀληθῶς τὰ λεγόμενα, τούτοις κέκληνται τοῖς ὀνόμασι.

Θεοκτίστῳ. ια.

Βασάνισον ἀκριβῶς, ὦ βέλτιστε, καὶ εὑρήσεις αὐτὸν δικαιοσύνης γέμοντα. οὐ γὰρ εἶπεν, ὁ ἁπλῶς καὶ ἐκ παρόδου, ἰδών τινος καὶ ἐπιθυμήσας, ὡς μοιχὸς τιμωρηθήσεται· ἦ γὰρ ἂν καὶ ἀνήνυτον ἦν τὸ πρᾶγμα, καὶ ἄλογος ἡ ἀπειλή· ἀλλ' ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, τουτέστιν, ὁ ἐκ προενθυμήσεως τὸ πάθος ἐπισπώμενος, ὁ τοῦτ' ἔργον τιθέμενος, ὁ συνεχῶς ἐφεδρεύων, καὶ τῇ συνεχεῖ καὶ ἀκαταπαύστῳ θέᾳ θεραπεύων τὸ πάθος, ἤδη ἐμοίχευσεν ἐν τῇ καρδίᾳ αὐτοῦ. τὸ γὰρ ἤδη, τοῖς μὴ βραχύτατον ἔχουσι τὸν νοῦν, ἐμφαίνει περὶ τῶν ἀδυνάτοις ἐπιχειρούντων εἰρῆσθαι. τί γὰρ εἰ καὶ ὕπανδρος εἴη ἐκείνη καὶ σώφρων, καὶ ὑπὸ πολλῶν φυλάττοιτο, πῶς τῷ ἐρῶντι εὐχείρωτος εἴη. οὐκοῦν εἰκότως εἴρηται, ἤδη ἐμοίχευσεν, ὁ τῆς πράξεως οὐκ ἀποσχόμενος ἄν, εἴγε οἷά τε ἦν, εἰ μὴ πᾶσα ἡ τῆς ψυχῆς ῥώμη τῷ ἔρωτι ἦν παραχωρήσασα, οὐκ ἂν καὶ τὸ σῶμα ἐπείσθη συνεχῶς φοιτᾶν, καὶ ἀκρατέσιν ὀφθαλμοῖς ἑστιᾶν τὸ πάθος. ὅπου γε πολλοὶ καὶ ἐρῶντες, ἐρυθριῶσιν εἰς ἐκείνας βλέπειν. Εἰ δὲ δόξης ἔρως ὀφθαλ-

primùm reſpondeo, quia iræ & cupiditati rationem aurigæ in modum inſidere oportebat. Deinde, quia ei, qui ſacerdotij munere fungitur, veritatem ornamenti loco eſſe conuenit. Siquidem τῷ λογίῳ, id eſt, rationali, δήλωσις & ἀλήθεια inhærebant, quarum altera perſpicuitatem, altera veritatem ſignificat. Quòd ſi alio adhuc ſenſu id explicari cupis, id ea ratione fiebat, quia internæ rationi veritas congruit, ei autem, quæ ſermone profertur, perſpicuitas. Denique quia ſplendor quidam, vt nõnulli aiunt, in lapillis illis exiſtebat, cùm ad Sancta ſanctorum ſacrificãdi cauſa ſe cõferret, atque ea, quæ euentura erant, verè declarabat, his fortaſſe nominibus appellatæ ſunt.

Teocliſto. II.

Perpende diligenter, optime vir, ac videbis eum æquitate ac iuſtitia refertum eſſe. Non enim dixerit, Qui ſimpliciter ac per tranſitum aliquam viderit, eámque cõcupierit, vt adulter punietur (ſic enim res irrita fuiſſet, ac nulla ratione nixa comminatur) verùm, Qui viderit mulierem ad cõcupiſcendam eam, hoc eſt, qui ex antecedẽte cogitatione lididinis affectum attrahit, qui nihil aliud operis ſibi proponit, qui ſine intermiſſione inſidiatur, atque aſſiduo proſpectu affectũ fouet, iam mœchatus eſt in corde ſuo. Particula enim iſta, Iam, omnibus, niſi qui perexigua & hebeti mente ſint, perſpicuum illud facit, hæc verba de iis dicta eſſe, qui res eas aggrediũtur, quas nullo modo cõſequi poſſunt. Quid enim, ſi illa & viro copulata ſit, & pudicitia præſtet, & à multis cuſtodiatur, quonam pacto ab amante facilè ſubigi queat? Meritò itaque dictum eſt, Iam mœchatus eſt: quia videlicet ab actione minimè abſtinuiſſet, ſi ea in ipſius poteſtate ſita fuiſſet. Niſi enim vniuerſum animæ robur amori ſuccubuiſſet, haudquaquã corpori quoque perſuaſum fuiſſet, vt continenter incederet, ac libidinoſis oculis affectum ſuum paſceret: quippe cùm multi

etiam, quamuis amore teneantur, eas tamen, quas amant, cernere præ pudore minimè ſuſtineat. Quòd ſi gloriæ amor oculum comprimit, atque corporeum amorẽ ſuperat, multo profectò magis, id diuinus timor efficiet. Quòd ſi dixerit, quiſpiam, Quid igitur, ſi cùm actio in ipſius poteſtate ſit, tamen abſtineat? hîc reſponderim: Magna quidem certè ac diuina quædam res iſtud fuerit, ac verè virginitatis argumentum. Atque huiuſmodi vir, etſi viderit, atque obiter vulnus acceperit, haudquaquã eam aſſiduè intueri ſtudebat, verũ quàm lõgiſſimè ſeſe remouebit, ne continuus aſpectus materiam igni ſubminiſtret. Quòd ſi intueri ſtudet, eum per huiuſmodi aſpectum affectus prodit. Iam ſi continenter etiam aſpiciens, nullo incommodo hinc ſe affici contendat, à Iobo, viro omni laude præſtantiori coarguetur, his verbis vtente, Pepigi fœdus cum oculis meis, vt ne cogitarem quidem de virgine. Quòd ſi eum, qui diaboli vires concidit, minorem eſſe exiſtimet, quàm vt ſecum certare poſſit, hoc ipſo quoque nomine dignus fuerit, cui fides abrogetur, cùm ait ſe etſi cernere non deſinat, nullo tamen libidinis ſenſu affici. Atque vt etiam eum vera loqui concedamus, tamen eũdem diuinum miraculum perperam interpretari cõſtat. Non enim dixit, Vide quidem, at ne concupiſcas. Vel, Cuncupiſce quidem, at cupiditatem comprime. Quòd ſi eò quique impudẽtiæ prorumpat, erubeſcat is oportet, qui dixit. Viuo autem non iam ego, viuit autem in me Chriſtus. Nam qui hæc omni philoſophia prꝺſtantiora verba protulit, quiq; diuinarũ gratiarũ opes tanquã in fictili ærario circũferebat, anxius & ſolicitus erat, cũ hoc bellũ ſibi ob oculos proponeret, ac dicebat, Caſtigo corpus meũ, & in ſeruitutem redigo: ne fortè, cùm aliis prædicauero, ipſe reprobus efficiar. Cùm igitur tãtus vir carnis rabiem tanquã habenis quibuſdam cohibeat, vnuſquiſque, oculos à mulieribus remouẽdo, ſecuritatem ſibi cõparare ſtudeat: ne alioqui materia igni admota flammam excitet.

μοῖς χαλινοῖ, καὶ ἔρωτος κρατεῖ σωματικοῦ, πολλῷ μᾶλλον ὁ θεῖος φόβος τοῦτο ποιήσει. εἰ δὲ φαίη τις, τί οὖν, εἰ δυνατῆς οὔσης τῆς πράξεως ἀπόσχοιτο; φαίην, ὅτι μέγα μὲν ὄντως καὶ θεῖον, καὶ παρθενίας ὄντως ἀπόδειξις. καὶ ὁ τοιοῦτος εἰ καὶ εἶδε, καὶ ἐτρώθη ἐκ παρόδου, οὐκ ἂν συνεχῶς σπουδάσοι θεάσασθαι. ἀλλὰ καὶ πόῤῥω ἑαυτὸν ἀποικίσει, ἵνα μὴ ἡ συνεχὴς θέα ὕλην τῷ πυρὶ παράσχοι. εἰ δὲ σπουδάζει θεάσασθαι, ἐλέγχει ἑαυτὸν δι᾽ ὧν θεᾶται τὸ πάθος. εἰ δὲ καὶ θεώμενος διηνεκῶς, λέγει μηδὲν πάσχειν δεινὸν, ἐλεγχθήσεται παρὰ τοῦ παντὸς ἐπαίνου κρείττονος Ἰὼβ, λέγοντος, Διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου, καὶ οὐ μὴ συνοίσω ἐπὶ παρθένον. εἰ δὲ μικρὸν ἑαυτῷ πρὸς ἅμιλλαν ἡγεῖται τὸν τοῦ διαβόλου συγκόψαντα τὴν ἰσχὺν, μάλιστα μὲν καὶ δι᾽ αὐτὸ τοῦτο ἀπιστηθῆναι ἂν εἴη δίκαιος, λέγων, ὁρᾶν μὲν συνεχῶς, μὴ πάσχειν δέ. εἰ δὲ καὶ δοίημεν αὐτὸν ἀληθεύειν, ἐλέγχεται τὸν θεῖον παρερμηνεύων χρησμόν, οὐ γὰρ εἶπεν, ὅρα μὲν, μὴ ἐπιθύμει δέ. ἢ ἐπιθύμει μὲν καρτέρει δέ. εἰ δὲ καὶ οὕτως ἀναισχυντοίη, ἐρυθριάσαι ὀφείλει τὸν εἰρηκότα· ζῶ δὲ οὐκ ἔτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ χριστός. ὁ γὰρ ταῦτα τὰ πάσης φιλοσοφίας κρείττονα ῥήματα φράσας, ὁ τὸν τῶν χαρισμάτων πλοῦτον ὥσπερ ἐν ὀστρακίνῳ θησαυρῷ περιφέρων, ἐναγώνιος ἦν πρὸς τὸν πόλεμον τοῦτον ἀφορῶν, καὶ ἔλεγεν· ὑπωπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι. εἰ τοίνυν ὁ τηλικοῦτος ἀνὴρ τὴν τῆς σαρκὸς ἀνεσείραζε λύτταν, σπουδαζέτω ἕκαστος, διὰ τοῦ μὴ ὁρᾶν τὴν ἀσφάλειαν ἑαυτῷ πορίζεσθαι, μήποτε πλησιάζουσα ἡ ὕλη τῷ πυρὶ ἀνάψῃ τὴν φλόγα.

Τῷ